# ΒΑΣΙΛΕΥ ΟΥΡΑΝΙΕ

Βασιλεύ Ουράνιε

Βασιλεύ ουράνιε, Παράκλητε, το Πνεύμα της αληθείας,

ο πανταχού παρών και τα πάντα πληρών ,

ο θησαυρός των αγαθών και ζωής χορηγός ,

ελθέ και σκήνωσον εν ημίν,

και καθάρισον ημάς από πάσης κηλίδος,

και σώσον αγαθέ τας ψυχάς ημών. Αμήν

# Κυριακή προσευχή(Πάτερ ἡμῶν)

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου·
ἐλθέτω ἡ βασιλεία σου·
γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς·
τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον·
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν·
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ Πονηροῦ,
ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας.
Ἀμήν.

## Σύμβολο της Πίστεως

**. Πιστεύω εἰς ἕναν Θεόν, Πατέρα, παντοκράτορα, ποιητήν οὐρανού καί γῆς, ὁρατῶν τε πάντων καί ἀοράτων.**

**2. Καί εἰς ἕναν Κύριον Ἰησοῦν Χριστόν, τόν Υἱόν τοῦ Θεοῦ τόν μονογενῆ, τόν ἐκ τοῦ Πατρός γεννηθέντα πρό πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτός, Θεόν ἀληθινόν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι’ οὗ τά πάντα ἐγένετο.**

**3. Τόν δι' ἡμᾶς τούς ἀνθρώπους καί διά τήν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καί σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καί Μαρίας τῆς Παρθένου καί ἐνανθρωπήσαντα.**

**4. Σταυρωθέντα τε ὑπέρ ἡμῶν ἐπί Ποντίου**

**Πιλάτου καί παθόντα καί ταφέντα.**

**5. Καί ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατά τάς**

**Γραφάς.**

**6. Καί ἀνελθόντα εἰς τούς οὐρανούς καί καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.**

**7. Καί πάλιν ἐρχόμενον μετά δόξης κρῖναι ζῶντας καί νεκρούς, οὗ τῆς Βασιλείας οὐκ ἔσται τέλος.**

**8. Καί εἰς τό Πνεῦμα τό Ἅγιον, τό κύριον, τό ζωοποιόν, τό ἐκ τοῦ Πατρός ἐκπορευόμενον, τό σύν Πατρί καί Υἱῷ συμπροσκυνούμενον καί συνδοξαζόμενον, το λαλῆσαν διά τῶν Προφητῶν.**

**9. Εἰς μίαν, ἁγίαν, καθολικήν καί ἀποστολικήν Ἐκκλησίαν.**

**10. Ὁμολογῶ ἕν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.**

**11. Προσδοκῶ ἀνάστασιν νεκρῶν.**

**12. Καί ζωήν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.**